AGE Unit 8 (nouns concluded) Part 2 (1st and 2nd declension nouns)
CLASSICAL reading

Thucydides 8.37

In his history of the Peloponnesian War (fought primarily between the πόλεις of Athens and Sparta), Thucydides documents the terms of a treaty made between the Spartans and the Persians in 412 BC (8.18 = the reading in Unit 8.1) He also reports this revised version from several months later. The language of this version is structured to say that the agreement (**ξυνθῆκαι**) is so-and-so, with the specifics structured as accusative-infinitive sentences.

8.37 Ξυνθῆκαι Λακεδαιμονίων καὶ τῶν ξυμμάχων
πρὸς βασιλέα Δαρεῖον
καὶ τοὺς παῖδας τοὺς βασιλέως καὶ Τισσαφέρνην, … κατὰ τάδε.
ὁπόση χώρα καὶ πόλεις βασιλέως εἰσὶ Δαρείου
ἢ τοῦ πατρὸς ἦσαν ἢ τῶν προγόνων,
ἐπὶ ταύτας μὴ ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενὶ
μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τοὺς Λακεδαιμονίων,
μηδὲ φόρους πράσσεσθαι ἐκ τῶν πόλεων τούτων
μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τοὺς Λακεδαιμονίων
μηδὲ Δαρεῖον βασιλέα μηδὲ ὧν βασιλεὺς ἄρχει
ἐπὶ Λακεδαιμονίους μηδὲ τοὺς ξυμμάχους
ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενί. ...

τὸν δὲ πόλεμον τὸν πρὸς Ἀθηναίους καὶ τοὺς ξυμμάχους
κοινῇ ἀμφοτέρους πολεμεῖν·

ἢν δὲ κατάλυσιν ποιῶνται,
κοινῇ ἀμφοτέρους ποιεῖσθαι.
...
ἢν δέ τις τῶν πόλεων ὁπόσαι ξυνέθεντο βασιλεῖ
ἐπὶ τὴν βασιλέως ἴῃ χώραν,
τοὺς ἄλλους κωλύειν καὶ ἀμύνειν βασιλεῖ κατὰ τὸ δυνατόν·
καὶ ἤν τις τῶν ἐν τῇ βασιλέως χώρᾳ ἢ ὅσης βασιλεὺς ἄρχει
ἐπὶ τὴν Λακεδαιμονίων ἴῃ ἢ τῶν ξυμμάχων,
βασιλεὺς κωλυέτω καὶ ἀμυνέτω κατὰ τὸ δυνατόν.

**VOCABULARY**

**Ἀθηναῖος -ου ὁ** Athenian
**ἄλλος -ου ὁ** other
**ἀμύνω** provide aid (+ dat)
    **ἀμυνέτω** (3rd sg) Let him provide aid
**ἀμφοτέρους** (acc pl) ὁ both
**Δαρεῖος -ου** ὁ Darius II
    *(king of Persia 424-404 BC)*
**ἤν** ~ εἰ
**ἦσαν** (3rd pl) were
**ἴῃ** (3rd sg) goes
**κατάλυσις –εως ἡ** truce
**κοινῇ** in common, together
**κωλύω** prevent
    **κωλυέτω** (3rd sg) Let him prevent
**Λακεδαιμόνιος -ου** ὁ Spartan
**ξύμμαχος –ου** ὁ ally
**ξυνθήκη –ης ἡ** agreement
**ξυνέθεντο** (3rd pl)
    are bound by this agreement to
**ὁπόση –ης ἡ** however much, all that
**ὅσης** (gen sg) ἡ all that
**ποιεῖσθαι** (pres inf) make
**ποιῶνται** ~ ποιοῦσι
**πολεμέω** make war
**πόλεμος -ου ὁ** war
**πράσσεσθαι** (pres inf) collect
**πρόγονος –ου ὁ** ancestor
**ταύτας** (acc pl) ἡ these
**Τισσαφέρνης -ου** ὁ Tissaphernes *(the Persian official representing Persia in this treaty)*
**τούτων** (gen pl) these
**φόρος –ου ὁ** revenue
**χώρα –ας ἡ** territory

μὴ ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενὶ
Let them not go to war or do any harm…

κατὰ τὸ δυνατόν
as much as possible within their power